παντελεῖ, τὴν δὲ σοφίαν ἀκενόδοξος μελέτη τῶν λογίων τοῦ θεοῦ καὶ πρῶτον ἡ χάρις τοῦ διδόντος θεοῦ.

ι'.

Ὅτε τὸ θυμῶδες τῆς ψυχῆς κινεῖται κατὰ τῶν παθῶν, εἰδέναι δεῖ σιωπῆς εἶναι καιρόν· ὥρα γάρ ἐστι πάλης. Ὅτε δὲ τὴν ἀκαταστασίαν ἐκείνην ἴδοι τις ἢ δι' εὐχῆς ἢ δι' ἐλεημοσύνης εἰς γαλήνην ἐλθοῦσαν, κινείσθω τῷ ἔρωτι τῶν θείων λογίων δεσμῷ τῆς ταπεινοφροσύνης τὰ τοῦ νοῦ διασφαλιζόμενος πτερά. Ἐὰν γὰρ μή τις ἑαυτὸν ἐξουδενώσῃ λίαν, οὐ δύναται περὶ μεγαλωσύνης θεοῦ διαλέγεσθαι.

ια'.

Ὁ πνευματικὸς λόγος ἀκενόδοξον ἀεὶ τὴν ψυχὴν διατηρεῖ· αἰσθήσει γὰρ φωτὸς ὅλα αὐτῆς τὰ μέρη εὐεργετῶν, τῆς ἐξ ἀνθρώπων αὐτὴν τιμῆς οὐ χρείαν ἔχειν ποιεῖ. Διόπερ καὶ ἀφάνταστον ἀεὶ διαφυλάττει τὴν διάνοιαν ὡς ἀλλοιῶν αὐτὴν ὅλην εἰς τὴν ἀγάπην τοῦ θεοῦ. Ὁ δὲ τῆς τοῦ κόσμου σοφίας λόγος εἰς φιλοδοξίαν ἀεὶ προκαλεῖται τὸν ἄνθρωπον· ἐπειδὴ γὰρ πείρᾳ αἰσθήσεως εὐεργετεῖν οὐ δύναται, ἐπαίνων φιλίαν τοῖς αὐτοῦ ἰδίοις χαρίζεται ὡς πλάσμα ὢν κενοδόξων ἀνθρώπων. Τὴν τοίνυν τοῦ θείου λόγου διάθεσιν ἀπλανῶς ἐπιγνωσόμεθα, ἐὰν ἀμερίμνῳ σιωπῇ τὰς τοῦ μὴ λέγειν ὥρας ἀναλίσκωμεν ἐν θερμῇ μνήμῃ τοῦ θεοῦ.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417108427/14 UNIVERSITÄT LEIPZIG